# ΤΗΣ ΛΟΓΙΚΗΣ.

## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

### Περὶ Διανοίας.

## ΚΕΦ. ΠΡΩΤΟΝ.

### Τί ἐστὶ Διάνοια, καὶ τίνι κεῖται αὐτῆς ἡ Φύσις.

§. φλ΄.

Τὸ τῆς ψυχῆς Διανόημα, ὃ παρὰ τὸ εἰκὸς ἄντις (σαφηνείας χάριν τοὔνομα μεταλαβὼν), κίνησιν ἀποκαλέσειε τοῦ γνωστικοῦ, δι' ἧς, μὴ ἐπὶ τῷ αὐτῷ νοήματι μένον, ἀφ' ἑτέρου μεταβαίνει ἐφ' ἕτερον. Συναφῇ μὲν γὰρ ἔοικεν, ἡ κατὰ τὴν πρώτην τοῦ Νοῦ ἀντίληψιν γνῶσις. Μονῇ δὲ, καὶ στάσει ἡ ἀπόφανσις, ἡ ἐν τῇ σαφεῖ καὶ ἀνενδοιάστῳ τῶν ὅρων συνθέσει, ἢ διαιρέσει, τὸ ἑδραῖον καὶ ἀκίνητον ἔχουσα. Σάλῳ δέ τινι καὶ κραδασμῷ ὅμοιον, τὸ κατὰ τὰς ἀπορίας συμβαῖνον τῷ Νῷ πάθος, ἀστατοῦντι πως ἐπὶ τῶν ἀδήλων καὶ κυμαινομένῳ, καὶ στηριχθῆναι μηδαμῶς ἔχοντι. Κινήσει δὲ τέως παραπλήσιον τὸ τῆς Διανοίας ἐνέργημα, περὶ ἧς ἐνταῦθα ὁ λόγος. Κατὰ γὰρ ταύτην ἀπὸ νοήματος ἐπὶ νόημα ἡ ψυχὴ μεθίσταται, πρόεισί τε ἀπὸ τῶν ἡγουμένων ἐπὶ τὰ ἑπόμενα, ἕως οὗ ἐπὶ τὸ ἐναργὲς καὶ αὐτοφανὲς γενομένη τῆς τῶν ὅρων σχέσεως, ἐν αὐτῷ στῇ τέλεον ἠρεμήσασα. Τούτου γέτοι χάριν καὶ Διάνοια ὠνόμασται. ὃ σημαίνει τὸν ἀπὸ νοήσεώς τινος, διὰ νοήσεως ἄλλης, ἐπ' ἄλλην νόησιν διαβιβασμόν. (1).

§. φλα΄.

(1) „Τὰς γὰρ νοήσεις ἐναποκειμένας μὲν, ἐννοίας καλοῦσι, κινουμένας „δὲ διανοήσεις. Πλουτ. ἐν τῷ πότερα τῶν Ζώων Φρονιμ. „Διάνοια δὲ ἐστὶ τὸ „οἷον ὁδόν τινα διανύειν, μεταβαίνουσαν ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα. Ἐξ οὗ καὶ τὴν κλῆσιν εἵλκυσε. Φιλόπον. εἰς τὸ Προοίμ. τῶν περὶ Ψυχ. Διὸ καὶ πόθεν ποῖ, φασὶν αὐτὴν προϊέναι, καὶ δυαδικῶς ὁρίζεσθαι· (ὁ Αὐτ. ἐν Ὑπομν. τοῦ περὶ Ψυχ. Κεφ. α΄. Καὶ Σιμπλίκ. αὐτ.) ὧν θάτερον μὲν ὁ ἀφ' οὗ

ὅρος



§. φλα΄. Τοιγαροῦν ἐπὶ τῶν ἀξιωμάτων (§. υι.), ἐφ' ὧν οὕτω σαφῶς ἡ τῶν ὅρων πρὸς ἀλλήλους ἐμφαίνεται σχέσις, ὥστε θατέρῳ τὸν ἕτερον ἀδιαστάτως συνέχεσθαι, ἢ ἀντιβαίνειν, στάσις μὲν ἀκολουθεῖ τῇ ψυχῇ, κίνησις δ' οὐδεμία, οὐδ' ἐγχωρεῖ ὅλως Διάνοια. Οἷον ἐπὶ τῶνδε· Τὸ σύνθετον ἐξ ἁπλουστέρων· Τὸ ἀμερὲς ἥκιστα διαιρετόν· καὶ τῶν παραπλησίων. Αὐτανόητον γὰρ ἐν τῷ πρώτῳ τῶν ἐπανεχθέντων τὸ κατηγόρημα, αὐταναίρετον δ' ἐπὶ τοῦ δευτέρου, παρὰ τὸ ἄμεσον τῆς τῶν ὅρων ἐκεῖσε μὲν συμφυΐας, ὧδε δ' ἀντιφυΐας, μηδὲν ὅλως μεσιτεῦον διάστημα, δι' οὗπερ ἂν ἡ ψυχὴ ἀπὸ τοῦ ἑτέρου τῶν ὅρων ἐπὶ τὸν ἕτερον γνωστικῶς διαβιβασθείη. Ἀλλ' ἡ κίνησις ἐπὶ τῶν λοιπῶν ἀποφάνσεων, καὶ μάλα δήλη, ἐν αἷς ἑνὸς, ἢ πλειόνων μεσιτευόντων, διὰ τούτων οἷόν τε χωρῆσαι, καὶ τῶν ἄκρων τὸ οἰκεῖον σαφέστερον ἀναδεῖξαι, ἢ τὸ ἀλλότριον. Οἷον ἡ ψυχὴ ἀθάνατος, ὅτι ἀδιάλυτος, ὅτι ἀσώματος, ὅτι αὐτοκίνητος. Τὸ σῶμα οὐκ ἀδιαίρετον, ὅτι οὐκ ἀμερὲς, ὅτι ἔκτασιν ἔχον.

§. φλβ΄. Ἐφ' ὧν οὖν αἱ διὰ τῶν μεταξὺ μεταβάσεις, ἐν μέρει πᾶσαι, τὸ ἀναγκαῖον σώζουσι τῆς κρίσεως. καὶ ἄλλως ἔχειν μὴ δυνάμενον, καὶ ἡ κατὰ τὸ πέρας στάσις τελεία ἐστὶ, ἥτε διάνοια ἀποδεικτική. ὡς ἐπὶ τοῦ ληφθέντος, τὸ σῶμα ἔχον ἐστὶν ἔκτασιν· τὸ ἔκτασιν ἔχον, μέρη ἔχει ἐκτὸς μερῶν· τὸ τοιοῦτον οὐκ ἀδιαίρετον· τὸ ἄρα σῶμα οὐκ ἀδιαίρετον. Ἐφ' ὧν δὲ κἂν μία τις τῶν μεταξὺ ὑποσαλεύοιτο κρίσεων, καὶ ἡ διάνοια πᾶσα κατὰ τὸ τέρμα γενομένη, τοῦ σάλου κοινωνήσει, τῇ παρεισενεχθείσῃ μὴ πάντῃ βεβαίᾳ πίστει ἀνάλογον. Οἷον εἰκὸς τὸν δεῖνα εἶναι τὸν φῶρα. Ἐπειδὴ ὁ κλέψας οὐχ ἡδέως μετακληθεὶς ἀπαντᾷ· ὁ δὲ, ἀπαντήσας ὠχρίασεν· ἐλέγχειν δ' ἔοικεν ὁ ὦχρος τῆς κλοπῆς τὴν συνείδησιν. Πιθανὸν οὖν τοῦτο, καὶ τὸ μὴ βέβαιον διαπορθμεῦον ἐπὶ τὸ, ὡς οὗτος ὁ φώρ ἐστὶ, συναγόμενον.

§. φλγ΄. Ἐπὶ ἑκάστης Διανοητικῆς ἐφόδου, αἱ μεταβάσεις ἰσάριθμοι τοῖς ὅροις εἰσὶ, συμπεριλαμβανομένων τούτοις καὶ τῶν περάτων. Ἢ (ὃ ταυτόν ἐστιν) αἱ μεταβάσεις τοὺς ὅρους τοὺς με-

Bb 5 ταξὺ

οὗ ὅρος ἐστὶ, θάτερον δὲ ὁ πρὸς ὃν γίγνεται ἡ μετάβασις. Κατὰ τοῦτο δὴ καὶ Ἀριστοτέλης στάσιν Διανοίας τὴν Ἐπιστήμην ὡρίζετο. „Τὸ γὰρ ἠρεμῆσαι καὶ στῆναι τὴν Διάνοιαν, ἐπίστασθαι καὶ φρονεῖν λεγόμεθα. Φυσικ. Βιβλ. Ζ΄. Κεφ. γ΄.